www.tezaurliturgic.ro

# Ἀσματικὴ Ἀκολουθία



## Ἁγίας Μεγαλομάρτυρος Βαρβάρας, μετὰ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Ἄρτα 2010

# ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν Στίχους δ' καὶ ψάλλομεν τα κάτωθι Στιχηρὰ Προσόμοια τῆς Ἁγίας γ'.

Ἦχος πλ. β'. **Τριήμερος ἀνέστης.**

Βαρβάρας τῆς ἁγίας πιστῶς, τὴν μνήμην ἐκτελέσωμεν, ἐκβοῶντες· Ἀθληφόρε τοῦ Χριστοῦ, διάσωσον εὐχαῖς σου, κινδύνων τε καὶ νόσων, τοὺς τῷ ναῷ σου καταφεύγοντας.

Τῷ πόθῳ θελγομένη Χριστοῦ, βασάνων κατεφρόνησας, καὶ τοῦ βίου ὦ Βαρβάρα τὰ τερπνά, παρέδραμες ὥς ὄναρ· διὸ κατηξιώθης, τῆς γλυκυτάτης ἀπολαύσεως.

Ἀστόργου ὦ Βαρβάρα πατρός, χερσὶ ἀμνὰς ὡς ἄμωμος, κατεσφάγης καὶ θυσία καθαρά, προσήχθης τὼ Κυρίω, ὦ πρέσβευε ἀπαύστως, χάριν δοθῆναι τοῖς τιμῶσι σέ.

Τοῦ θήλεος τὸ χαῦνον σεμνή, οὐδόλως σὲ ἐκώλυσε, τῶν βασάνων ὑπελθεῖν τὸ ἀλγεινόν, ἐν αἷς μάρτυς Βαρβάρα, τὸν ὄφιν τὸν ἀρχαῖον, ὡς καρτερόφρων ἐταπείνωσας.

Δόξα Πατρί. Ἦχος α'.

Μάρτυς Βαρβάρα ἀήττητε, ὡς τῆς γῆς τὰ ἡδέα παρωσαμένη, καὶ συντονώτατον δρόμον μαρτυρίου δραμοῦσα, εἰς τῆς ζωῆς τὸν νυμφῶνα εἰσελήλυθας, ἔνθα αἰωνίως ἀγάλλεσαι, μετὰ τῶν παρθένων ἐκείνων τῶν φρονίμων. Ὅθεν τοὺς τελοῦντας τὴν μνήμην σου, ἀπὸ παντοίων διάσωσον κακῶν, καὶ ῥῦσαι τῆς μανίας τοῦ δράκοντος, ταῖς πρὸς Θεὸν πρεσβείαις σου.

Καὶ νῦν. **Θεοτοκίον.**

Ἁμαρτωλῶν τάς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμόν, μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

Εἰς τὸν στίχον, Στιχηρὰ Προσόμοια

Ἦχος β'. **Οἶκος τοῦ Ἐφραθά.**

Χώραν θείας ζωῆς, ἀξίως ἐμβατεύεις, Χριστὸν δοξολο-

γοῦσα, τὸν ποθητόν νυμφίον, Βαρβάρα τῆς καρδίας σου.

**Στίχος.** *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.*

Πίστει τῇ εἰς Χριστὸν στερρῶς ἐρηρεισμένη, ἀκλόνητος ὡς πύργος, Βαρβάρα διεκρούσω, τὸν σάλον τῶν κολάσεων.

**Στίχος.** *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.*

Χαίρουσα εις αυλάς, Βαρβάρα ουρανίους, λαμπρώς αυλιζομένη, υπέρ ημών δυσώπει, Θεόν τὸν πανοικτίρμονα.

**Δόξα Πατρί. Τριαδικόν.**

Κράτει σου τῷ σεπτῷ, Τριὰς Ὑπεραγία, Πάτερ Υἱὲ καὶ Πνεῦμα, Βαρβάρα μαρτυρίου, τὸ στάδιον ἐτέλεσε.

**Καὶ νῦν. Θεοτοκίον.**

Ἔρωτι τοῦ ἐκ σοῦ, ἀφράστως γεννηθέντος, Παρθένε ἡ Βαρβάρα, ἐνήθλησεν ἀνδρείως, πατρὸς χερσὶ φονόεσσαις.

**Νῦν Ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ, καὶ Ἀπόλυσις.**

# ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ϛ' καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τῆς Ἁγίας γ'.

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

*Στίχος: Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται; Ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.*

Ὅτε ἐν σταδίῳ τῷ φρικτῷ, Ἰουλιανὴ διεσκόπει ἡ παμμακάριστος, Μάρτυρα τὴν ἔνδοξον, Βαρβάραν μάστιξιν, ἐναθλοῦσαν βασάνοις τε, ποικίλοις τὸ σῶμα, ἅπαν συγκοπτόμενον, θερμοῖς τοῖς δάκρυσι, Λόγε τοῦ Θεοῦ ἀνεβόα, Ταύτης κοινωνόν με γενέσθαι, ἄρτι καταξίωσον φιλάνθρωπε.

*Στίχος: Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε· ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.*

Μίαν ἡ Βαρβάρα ἀληθῶς, Ἰουλιανή τε τὴν γνώμην, πρὸς τὴν εὐσέβειαν, ἔχουσαι αἱ ἅγιαι κατηγωνίσαντο, τοῦ ἐχθροῦ, καὶ νικήσασαι, αὐτὸν κατὰ κράτος, δόξης ἠξιώθησαν, παρὰ Χριστοῦ τοῦ Θεοῦ, ὅθεν λοιμικῶν παθημάτων, λώβην ἀφανίζουσαι πᾶσι, τοῖς πιστοῖς παρέχουσιν ἰάματα.

*Στίχος: Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας, ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.*

Ὅτε ἀπεφάνθη κατὰ σοῦ, Μάρτυς σεμνοτάτη Βαρβάρα, ὁ γλυκὺς θάνατος, χαίρουσα καὶ σπεύδουσα, τὸν δρόμον ἤνυσας, ἀσεβοῦς δὲ γεννήτορος, χερσὶ παρανόμοις, τέθυσαι καὶ κάρπωμα, Θεῷ προσήνεξαι, ὅθεν, ταῖς φρονίμοις Παρθένοις, ὄντως συγχορεύουσα βλέπεις, Χριστοῦ τοῦ νυμφίου σου τὴν ἔλλαμψιν.

## Στιχηρὰ Προσόμοια τοῦ Ὁσίου

Ἦχος πλ. δ'. Τί ὑμᾶς καλέσωμεν ἅγιοι.

*Στίχος: Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις· καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν*

*τῶν ἀνομιῶν αὐτοῦ.*

Τί σὲ ὀνομάσωμεν Ἅγιε; θεολόγον Ἰωάννην, ἢ Δαυῒδ τὸν μελῳδόν, πνευματέμφορον Κινυράν, ἢ Αὐλὸν ποιμενικόν; γλυκαίνεις ἀκοὴν γὰρ καὶ διάνοιαν, εὐφραίνεις Ἐκκλησίας τὰ συστήματα, καὶ μελιρρύτοις σοῖς φθέγμασι, καταγλαΐζεις τὰ πέρατα, ἱκέτευε, τοῦ σωθῆναι τάς ψυχὰς ἡμῶν.

**Στίχος:** *Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί.*

Τί σὲ ὀνομάσω θεσπέσιε; Ἰωάννη γλυκορρῆμον, φαεινότατε ἀστήρ, ὁ τῇ αἴγλῃ τῆς Τριάδος, ἐλλαμφθεὶς τὸ Ὀπτικόν, εἰσέδυς εἰς τὸν γνόφον τὸν τοῦ Πνεύματος, τοῦ θείου ἐμυήθης τὰ ἀπόρρητα, ὡς Μωϋσῆς διεσάφησας, τὴν μουσικὴν καλλιέπειαν, ἱκέτευε, τοῦ σωθῆναι τάς ψυχὰς ἡμῶν.

**Στίχος:** *Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.*

Τί σὲ ὀνομάσω ἀοίδιμε; λαμπαδοῦχον φαεσφόρον, εὐκλεῆ ὑφηγητήν; λειτουργὸν ἢ θεωρόν, τῶν Μυστηρίων τοῦ Θεοῦ; ἀστέρα Ἐκκλησίας ἀγλαΐζοντα; Λυχνίαν τοὺς ἐν σκότει καταλάμπουσαν, ἢ ὄργανον εὐηχέστατον, σάλπιγγα καλλικέλαδον, ἱκέτευε, τοῦ σωθῆναι τάς ψυχὰς ἡμῶν.

## Εἰ βούλει ἀντὶ τῶν Προσομοίων τοῦ Ἁγίου ψάλλε τὰ ἑξῆς Προσόμοια τῆς Ἁγίας.[1]

### Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσιν.

Παρθενίας τοῖς κάλλεσι, μυστικῶς διαλάμπουσα, μαρτυρίου ἔδραμες πρὸς τὸ στάδιον, ἐν ᾧ Βαρβάρα ἀοίδιμε, τῷ πάλαι πτερνίσαντι, τὴν προμήτορα ἐχθρῷ, προσπλακεῖσα ἠρίστευσας, καὶ αἰώνιον, νίκης τρόπαιον ἦρας καὶ ἐστέφθης, δεξιά τῇ ζωηφόρῳ, θείας ζωῆς διαδήματι.

[1]Ακολουθία Αγίας Βαρβάρας, "Ασματικαί Ακολουθίαι", τόμος Α', υπό Αρχιμ. Κυρίλλου- Ιωάννου Κογεράκη, εκδ. Ι.Μ. Αγκαράθου, Ηράκλειον 2002.

Ἀνδρικῶς στερεώσασα, ἀσθενὲς τὸ τοῦ θήλεος, ἐν τῇ πίστει ἔνδοξε τοῦ Νυμφίου σου, γλώσσῃ λαμπρὰ ὡμολόγησας, Τριάδα τὴν ἄκτιστον, ὑπὲρ ἧς τοὺς φλογισμούς, καταξέσεις τε μάστιγας, καὶ τὸν θάνατον, ὑπομείνασα ξίφει ὦ Βαρβάρα, ἐκοινώνησας τῆς ἄνω, ὑπερφυοὺς ἀπολαύσεως.

Μηδαμῶς δειλανδρίσασα, πρὸς βασάνους, τοῦ σώματος, ὡς ῥωσθεῖσα χάριτι Θείου Πνεύματος, χερσὶ ἀστόργου γεννήτορος, Βαρβάρα ὑπήνεγκας, κεφαλῆς τὴν ἐκτομήν, καὶ ἐξήνθησας, βλάστημα, ἱερώτατον, πονηρᾶς τε ἐκ ῥίζης παραδόξως, ἐσαεὶ εὐωδιάζον, τῆς Ἐκκλησίας τὸ πλήρωμα.

## Δόξα... Ἦχος πλ. β'

Τὴν τῶν μαρτύρων καλλονὴν καὶ τῶν μαρτύρων εὐκοσμίαν, τὴν οὐρανόφρονα παρθένον τοῦ Σωτῆρος, Βαρβάραν τὴν καλλίνικον, καὶ θαυματουργὸν ὑπερθαύμαστον, πιστῶς συνελθόντες φιλομάρτυρες, ἐν φαιδροῖς ἐγκωμίοις, ἀνευφημήσωμεν κράζοντες· Χαίροις ἡ τῶν ἐμπαθῶν τῆς σαρκὸς σκιρτημάτων, λογισμῷ ἐπικρατήσασα σώφρονι, καὶ ἐν ἡλικίας νεότητι τάς αἰσθήσεις, τρόπῳ πρεσβυτικῷ παιδαγωγήσασα· χαίροις ἡ τῆς ὑπερουσίου Τριάδος, διὰ τῆς τῶν θυρίδων τριπλῆς φωταγωγίας, τὸ θεῖον μυστήριον ἐξεικονίσασα, καὶ αὐτῆς τὴν πίστιν ὁμολογήσασα· χαίροις ἡ θαρσαλέως ἑαυτήν, βασανιστηρίων εἴδεσιν ἐπιδοῦσα, καὶ τῆς κεφαλῆς ἐκτομῇ, πρὸς τὴν ἀγήρω ζωὴν ἐκδημήσασα. Ἀλλ' ὦ Μεγαλομάρτυς πολύαθλε, ὡς παρρησίαν πολλὴν κεκτημένη, ἱκέτευε ἀπαύστως τὸν Θεόν, σωθῆναι τάς ψυχὰς ἡμῶν.

## Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σέ, Παναγία Παρθένε...

## Εἴσοδος, το Φως ιλαρόν, το Προκείμενον της ημέρας και τα κάτωθι Αναγνώσματα.

## Παροιμιῶν τὸ Ἀνάγνωσμα (Κεφ. Λα΄. 10-25)

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; Τιμιωτέρα δὲ ἐστὶ λίθων

πολιτελὼν ἡ τοιαύτη, μηρυομένη ἔρια καὶ λίνον ἐποίησεν εὔχρηστον ταῖς χερσίν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει αὕτη τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν καὶ ἔδωκε βρώματα τῷ οἴκῳ καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς, κατεφύτευε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον.

Ἐγεύσατο ὅτι καλὸν ἐστὶ τὸ ἐργάζεσθαι καὶ οὐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς, τάς χεῖρας αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τοὺς δὲ πήχεις αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις.

## Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ. ΙΔ΄. )

Σοφαὶ γυναῖκες ᾠκοδόμησαν οἴκους· ἡ δὲ ἄφρων κατέστρεψε ταῖς χερσὶν αὐτῆς. Ὁ πορευόμενος ὀρθῶς, φοβεῖται τὸν Κύριον· ὁ δὲ σκολιάζων ταῖς ὁδοῖς αὐτοῦ, ἀτιμασθήσεται. Ἐκ στόματος ἀφρόνων βακτηρία ὕβρεως· χείλη δὲ σοφῶν φυλάξει αὐτούς... Οἰκίαι ἀσεβῶν ἀφανισθήσονται σκηναὶ δὲ κατορθούντων στήσονται... Ὀξύθυμος πράσσει μετὰ ἀβουλίας· ἀνὴρ δὲ φρόνιμος πολλὰ ὑποφέρει... Φίλοι μισήσουσι φίλους πτωχούς, φίλοι δὲ πλουσίων πολλοί.

Ὁ ἀτιμάζων πένητα, ἁμαρτάνει· ἐλεῶν δὲ πτωχούς, μακάριος ἔσται... Ἐν πολλῷ ἔθνει δόξα βασιλέως· ἐν δὲ ἐκλείψει λαοῦ συντριβὴ δυνάστου... Πραΰθυμος ἀνὴρ καρδίας ἰατρός· σης δὲ ὀστέων καρδία αἰσθητική. Ὁ συκοφαντῶν πένητα, παροξύνει τὸν ποιήσαντα αὐτόν· ὁ δὲ τιμῶν αὐτὸν ἐλεεῖ πτωχόν... Δικαιοσύνη ὑψοῖ ἔθνος· ἐλασσονοῦσι δὲ φυλὰς ἁμαρτίαι. Δεκτὸς βασιλεῖ ὑπηρέτης νοήμων, τῇ δὲ αὐτοῦ εὐστροφίᾳ ἀφαιρεῖται ἀτιμίαν.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. 3, 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν

βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι. Καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾿ ἡμῶν πορεία σύντριμμα, οἱ δὲ εἶσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινούσιν ἔθνη, καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας, οἱ πεποιθότες ἐπ᾿ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἓν ἀγάπῃ προσμενούσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ. Ἰδιόμελα.

### Ἦχος α΄. Ἀνατολίου.

Τῆς γενηρὰς τρυφῆς, τὴν ἀπόλαυσιν ὑπεριδοῦσα, καὶ πατρὸς τὸν ὄλβον ὅμου τε καὶ δόξαν μισήσασα, τὸν οὐράνιον Νυμφίον ἐπεπόθησας, Βαρβάρα παναοίδιμε, τῷ ξίφει γὰρ τὴν κάραν τμηθεῖσα, σὺν ταῖς φρονίμοις συνεισῆλθες Παρθένοις, τῷ Νυμφίῳ Χριστῷ, ὅθεν καὶ τὴν λοιμικὴν νόσον ἐκδιώκουσα, τοὺς πιστοὺς θεραπεύεις, ἐνεργείᾳ τοῦ Πνεύματος, καὶ πρεσβεύεις ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

### Ἦχος ὁ αὐτός.

Χαῖρε καὶ εὐφραίνου, Βαρβάρα μάρτυς πολύαθλε, ὅτι ἐν σαρκὶ διατρίβουσα, Χριστοῦ τὴν δόξαν ἰδεῖν ἠξιώθης, ὡς ἐν τῷ ὄρει τῶν Μαθητῶν οἱ πρόκριτοι· μεσούσης γὰρ νυκτός, ἐν τῷ δεσμωτηρίῳ καθειργμένην, φῶς ἄνωθεν φαιδρὸν περιέλαμψε καὶ Χριστὸς ἐπεφάνη ἐγκελευόμενος, τάς ἐξ ἀνθρώπων σὲ πληγὰς μὴ δεδιέναι, Ἐγὼ γὰρ λέγων σοι εἰμὶ μετὰ σοῦ, καὶ ὑπὸ τὴν σκέπην τῶν ἐμῶν, πτερύγων ἔσῃ φυλαττομένη. Ὅθεν ἐν τῇ δυνάμει αὐτοῦ, τοῦ μαρτυρίου γενικῶς τῶν ἀγώνων, διαδραμοῦσα τὸν δίαυλον τὴν εἰδωλομανίαν κατήσχυνας, καὶ

πολλὰ τὰ βραβεῖα δεξαμένη, θαυμάτων ἀναβλύζεις πηγάς, τοῖς εὐφημοῦσι σέ, ὡς ἀήττητον Μάρτυρα.

## Ἦχος β'. Βυζαντίου.

Η θεόκλητος Μάρτυς Βαρβάρα, ἐν τῷ σταδίῳ πάσχουσα ἔλεγε· Δεινὰ μὲν τὰ παρόντα κολαστήρια, ὦ δικαστά, οὐ προκρίνω δὲ ὅλως, τῶν οὐρανίων τὰ ἐπίγεια, διὰ τοῦτο τέμνετε, ξέετε τάς σάρκας, πυρὶ παραδότε μέ, χαίρουσα ἀπίω πρὸς τὸν Νυμφίον μου Χριστόν, Ἧς ταῖς ἱκεσίαις Σωτήρ, τὰ ἐλέη σου κατάπεμψον ἡμῖν, καὶ σῶσον τοὺς τὴν ἄθλησιν αὐτῆς, ἐκτελοῦντας πιστῶς.

## Ὁ αὐτός. Τοῦ αὐτοῦ.

Τὴν πανήγυριν σήμερον τῆς ἀθληφόρου Βαρβάρας, δεῦτε λαοὶ ὑμνήσωμεν, ταύτην γὰρ οὔτε ξίφος, οὔτε πῦρ, οὔτε ἄλλη βάσανος, οὔτε τοῦ πολυπλόκου βελίαρ τὰ ἐνέδρα ἐτροπώσατο. Χριστὸν ἱκέτευε, Καλλιμάρτυς πανένδοξε, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

## Ἦχος γ'.

Δεῦτε πάντα τῆς γῆς τὰ πέρατα, χορείαν εὐσεβῆ συγκροτήσαντες, Βαρβάραν τὴν ἀοίδιμον, εὐλαβῶς μακαρίσωμεν, ὅτι μισήσασα πατρὸς τὸ δυσσεβές, καὶ ἀλογήσασα βασάνων τῶν ἀλγεινῶν, τὴν ἐκτομὴν τοῦ αὐχένος ἐδέξατο, ἀπαρασαλεύτω φρονήματι. Ὅθεν ὁ Κύριος αὐτὴν ἐδόξασε, καὶ θαυμάτων ἀνέδειξεν αὐτουργόν, ἐπ' εὐεργεσία ἡμῶν τῶν βοώντων· Ὁ τὴν εἰς ὀσμὴν μύρου σου δραμοῦσαν, καλλιπάρθενον κόρην νυμφίε Χριστέ, εἰς τὸν σὸν νυμφῶνα προσδεξάμενος, σὺν Πατρί τε καὶ Πνεύματι δόξα σοι.

## Ἦχος δ'.

Τῆς Ἁγίας Τριάδος τὴν πίστιν φυλάττουσα, διὰ τῆς τῶν θυρίδων τριπλῆς φωταγωγίας, αὐτὴν συμβολικῶς ἐξεικόνισας, ἧς καὶ τὴν μεγαλειότητα παραδηλοῦσα, τῷ ἐρωτήσαντι πατρί, Βαρβάρα μάρτυς ἔλεγες· αἱ τρεῖς θυρίδες φωτίζουσι, πά-

ντα ἄνθρωπον εἰς τὸν κόσμον ἐρχόμενον. Ὅθεν ἡ φαύλη ἀκοή, ὡς πρὸς ψεῦδος γεγυμνασμένη, θεολογίας σου μὴ ἐνεγκοῦσα τὰ ῥήματα, θυμοῦ ἀλόγως ἐπληροῦτο, καὶ χεῖρες οἱ παιδοκτόνοι, μετὰ βασάνους πολυτρόπους Χριστοῦ σὲ ἀνέδειξαν μάρτυρα, πρεβεύουσα ἐκτενῶς, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

## Ἦχος πλ. α'.

Δεῦτε σήμερον οἱ πιστοὶ μαρτυρικὴν συγκροτήσαντες πανήγυριν, Βαρβάραν τὴν καλλιπάρθενον κόρην, εὐλαβῶς εὐφημήσωμεν. Αὕτη γὰρ ἀρρενωθεῖσα ταῖς φρεσί, μήτε ἀγαθῶν ἐπαγγελίαις, μήτε κακῶν ἐπινοίαις, μηδὲ βραχὺ ἐπείσθη, ἀλλ' ἐν σταδίῳ μαρτύρων διέπρεψε· καὶ μετὰ βασάνους πολυωδύνους, τὴν τελείωσιν ξίφει δεξαμένη, ἐκ πονηρᾶς ῥιζουχίας, ἄνθος πανευῶδες ἐξήνθησε, χάριτος εὐωδία πληροῦσα τῆς Ἐκκλησίας τὸ πλήρωμα. Ὅθεν αὐτὴ ἐκβοήσωμεν· Παρθενομάρτυς πολύαθλε, ὡς ἐν οὐρανίοις εὐκλεῶς, περιπολεύουσα νῦν θαλάμοις, μὴ παύσῃ ἐκτενῶς δυσωπούσα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

## Ἦχος πλ. β'.

Πατρίδα, γένος, ὕπαρξιν, καταλιποῦσα Βαρβάρα, καὶ τὸν ἀσεβῆ πατέρα μισήσασα, Θεὸν ἠγάπησας, ᾧ ἐνυμφεύθης, καὶ γέγονας μεγαλέμπορος κληθεῖσα, Αὐτὸν ἱκέτευε, σωθῆναι τάς ψυχὰς ἡμῶν.

## Ἦχος ὁ αὐτός. Ἰωάννου Μοναχοῦ.

Ἀθλητικὴν ὁδεύσασα ὁδόν, προγονικὴν ἐξέφυγες βουλήν, Βαρβάρα πανσεβάσμιε, καὶ ὡς μὲν Παρθένος φρονίμη, λαμπαδηφόρος εἰσῆλθες, εἰς τάς αὐλὰς τοῦ Κυρίου σου· ὡς δὲ Μάρτυς ἀνδρεία, χάριν ἔλαβες ἰατρεύειν, τῆς σαρκὸς σαθρὰν λύμην, Ἀλλὰ καὶ ἡμᾶς τοὺς ἀνυμνοῦντας σέ, ψυχικῶν ἀλγηδόνων ἐκλύτρωσαι, ταῖς πρὸς Θεὸν ἱκεσίαις σου.

## Δόξα Πατρί... Ἦχος πλ. δ'.

Καλλιπάρθενε κόρη, Βαρβάρα πανένδοξε, ἐν καιροῖς τρεπτοῖς καὶ κινδυνώδεσι, τὸν καλὸν ἀγῶνα ἐννόμως, ἠγώνισαι,

τήν τε πίστιν τετήρηκας ἄτρεπτον, καὶ ἀπροσκόπτως τὸν δρόμον, τῆς εὐσεβείας τετέλεκας, μαρτυρίου ἐν στάσει ἀνδραγαθήσασα· διὸ τὸν ἐν οὐρανοῖς ἀποκείμενον, δικαιοσύνης ἀμάραντον στέφανον, τῇ παντουργῷ δεξιᾷ ἀνεδήσω. Ὅθεν εἰς αἰῶνας δοξαζομένη, ὡς τὸν Θεὸν δοξάσασα, λοιμώδεις ἀσθενείας θεραπεύεις, καὶ ἀπελαύνεις δαιμονιώδεις ἐνεργείας οὐ μὴν ἀλλὰ καὶ πάντων ἐκλυτρούσαι, κινδύνων καὶ δυσχερῶν περιστάσεων, τοὺς σὲ πρὸς βοήθειαν ἐπίκουρον προσκαλουμένους, καὶ εὐφημοῦντας σὲ πιστῶς, ὡς νύμφην Χριστοῦ πανακήρατον.

**Καὶ νῦν... Θεοτοκίον.**

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

**Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια τοῦ Ὁσίου.**
**Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος.**

Πάτερ Ἰωάννη πάνσοφε, τὴν Ἐκκλησίαν Χριστοῦ, κατεφαίδρυνας ᾄσμασιν, ἐνθεαστικώτατα, μελῳδῶν παναοίδιμε, τῇ ἐνεργείᾳ Πάτερ τοῦ Πνεύματος, τὴν σὴν Κινυράν, ἀνακρουόμενος, νῦν παναρμόνιον, τοῦ Δαυὶδ μιμούμενος, ἣν ἐνηχῶν, θείοις μελῳδήμασι, πάντας κατέθελξας.

**Στίχος.** *Μακάριος ἀνήρ, ὁ φοβούμενος τὸν Κύριον.*

Πάτερ Ἰωάννη ἔνδοξε, τῆς κοσμικῆς ἀποστάς, ταραχώδους συγχύσεως, τοῦ Χριστοῦ προσέδραμες, τῇ γαλήνῃ Πανόσιε, καὶ θεωρίας, θείας καὶ πράξεως, τάς πανολβίους, σαφῶς λαμπρότητας, ὄντως ἐπλούτησας, καὶ πιστοῖς μετέδωκας, θεοπρεπεῖ, βίῳ λαμπρυνόμενος, Μακαριώτατε.

**Στίχος.** *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.*

Δεῦτε γηγενεῖς ἐν ᾄσμασι, τὴν ἱερὰν καὶ σεπτήν, τοῦ Ὁσίου πανήγυριν, Ἰωάννου σήμερον, εὐσεβῶς ἀνυμνήσωμεν, οὗτος γὰρ ὄντως, θείας ἐλλάμψεως, κατηξιώθη τὸ φῶς εἰσδέξασθαι, Ὢ τῆς ἀφάτου σου, εὐσπλαγχνίας Κύριε! δι' ἧς ἡμεῖς, ἔγνωμεν

δοξάζειν σέ, τὸν ὑπεράγαθον.

### Δόξα Πατρί... Τοῦ Ὁσίου. Ἦχος πλ. β'

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου, δι' ὧν ἐν τοῖς οὐρανοῖς, εὗρες μισθὸν τῶν καμάτων σου· Τῶν δαιμόνων ὤλεσας τάς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας· Παρρησίαν ἔχων πρὸς Χριστὸν τὸν Θεόν, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

### Καί νῦν... Θεοτοκίον.

Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς. Σὲ ἱκετεύομεν, πρέσβευε, Δέσποινα, μετὰ τοῦ Ὁσίου, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τάς ψυχὰς ἡμῶν.

### Εἰ βούλει ἀντὶ τῶν Προσομοίων τοῦ Ἁγίου ψάλλε τὰ ἑξῆς Στιχηρά Προσόμοια τῆς Ἁγίας. Ηχος πλ. α'. **Χαίροις ἀσκητικῶν.**

Χαίροις Παρθενομάρτυς σεμνή, πικροῦ γεννήτορος τῷ ξίφει ἀθλήσασα, καὶ πλάνης τῆς τῶν εἰδώλων, τὴν ἐπηρμένην ὀφρὺν μαρτυρίου πόνοις ταπεινώσασα· ἐχθρὸν τὸν παγκάκιστον, τὸν τὴν Εὔαν πτερνίσαντα, ξύλου τῇ βρώσει, ὡς στρουθίον ἀνίσχυρον, ἡ πατήσασα, συντονία τῶν ἄθλων σου· αἵμασιν ἡ ὀνήσασα, Βαρβάρα πολύαθλε, τὴν οὐρανῶν βασιλείαν, ὡς νουνεχής τε καὶ φρόνιμος. Χριστὸν ἐκδυσώπει ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

**Στίχος.** *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.*

Χαίροις Μεγαλομάρτυς Χριστοῦ, ἡ παριδοῦσα κοσμικὴν περιφάνειαν, νεότητος ἡλικίαν, τιμὰς ματαίας τρυφάς, φυσικόν τε φίλτρον τοῦ γεννήτορος, καὶ πᾶσαν τὴν ἔφεσιν, πρὸς Χριστὸν ἀνατείνασα, τὸν τῆς ψυχῆς σου, ἐραστὴν μανικώτατον, ᾧ καὶ ἔκραζες, ἐν καιρῷ τῆς ἀθλήσεως· Δεῦρο ὢ ποθει-

νότατε, ἐλθὲ ὤ ἐράσμιε, ὅτι ὁ πόθος μὲ φλέγει, τοῦ γλυκυτάτου προσώπου σου. Αὐτὸν οὖν δυσώπει, ὑπὲρ πάντων ὦ Βαρβάρα, τῶν εὐφημούντων σέ.

**Στίχος.** *Καὶ ἔστησεν ἐπὶ πέτραν τούς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.*

Χαίροις περιστερὰ λογική, ἡ πετασθεῖσα καλλιάν πρὸς οὐράνιον, πτεροῖς τε κεχρυσωμένοις, Βαρβάρα μάρτυς σεμνή, τοῦ εὐσθενεστάτου μαρτυρίου σου· ἀμνὰς θεοσήμαντος, ἡ πρὸς μάνδραν χωρήσασα, τῆς αἰωνίου, ἐκλεκτὼν πανηγύρεων προθυμότατα, τὴν σφαγὴν ὑπομείνασα· κλῆμα τὸ εὐφορώτατον, ἀμπέλου τῆς πίστεως, τὸ ἐξανθήσαν πλουσίως, ἀθανασίας τοὺς βότρυας. Χριστὸν οὖν δυσώπει, ὑπὲρ πάντων τῶν ὑμνούντων, τάς ἀριστείας σου.

## Δόξα Πατρί... Τῆς Ἁγίας. Ἦχος δʹ.

Ἀθληφόρε Βαρβάρα πανένδοξε, τῇ ἀπλανεῖ τῶν ὄντων θεωρία, πρὸς τὸν Ποιητὴν καὶ Θεὸν ἀναχθεῖσα, καὶ τοῦ μόνου ὄντος καλοῦ τε καὶ ἐραστοῦ, ἀκορέστως κατατρυφήσασα, τῶν μαστίγων τάς ἀλγηδόνας, καὶ σιδήρων τάς καταξέσεις, τριχίνων τε ὑφασμάτων τάς ἐκτρίψεις, αἱμάτων ῥοὰς καὶ πυρὸς φλογισμούς, τάς τῶν μελῶν ἐκτομάς, τὴν γυμνὴν τε ἐκπόμπευσιν, κεφαλῆς τε καὶ ζωῆς τὴν ὑφαίρεσιν, ὡς ἐν ἀλλοτρίῳ ὑπέμεινας σώματι, ἐπὶ πᾶσιν ἀγαλλομένη καὶ βοῶσα· Χριστός ἐστι ἡ ζωὴ καὶ ἀνάστασις, τῶν εἰς αὐτὸν πεποιθότων, ὁ ἐπαγγείλας ἀψευδῶς, ὅτι ὁ πιστεύων εἰς αὐτόν, κἂν ἀποθάνῃ ζήσεται. Ἀλλ᾽ ἱκέτευε σεμνὴ ὑπὲρ ἡμῶν, τῶν εὐλαβῶς σὲ ὑμνούντων, ἵνα εὕρωμεν διὰ σοῦ, ἱλασμὸν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

## Καὶ νῦν... Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φυλάττε, εὐλογημένη Θεοτόκε, ἵνα σὲ δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

**Νῦν Ἀπολύεις, τὸ Τρισάγιον, καὶ τὸ Ἀπολυτίκιον.**

**Ἀπολυτίκιον τῆς Ἁγίας. Ἦχος δ'.**

Βαρβάραν τὴν Ἁγίαν τιμήσωμεν, ἐχθροῦ γὰρ τάς παγίδας συνέτριψε, καὶ ὡς στρουθίον ἐρρύσθη ἐξ αὐτῶν, βοηθείᾳ καὶ ὅπλῳ τοῦ Σταυροῦ ἡ Πάνσεμνος.

**Ἕτερον τῆς Ἁγίας. Ἦχος α'. Τῆς ἐρήμου πολίτης.**

Πατρικῆς δυσσεβείας, τάς ὁδοὺς καταλείψασα, ἐν φωτὶ Χριστοῦ ὦ Βαρβάρα, ἐπορεύθης τῆς πίστεως, καὶ ἤθλησας στερρῶς ὑπὲρ Χριστοῦ, φονώσαις τοῦ γεννήτορος χερσί· διὰ τοῦτο ἀενάως βλύζεις πηγάς, θαυμάτων τοῖς ἐκβοῶσι· Δόξα τῷ σὲ ἰσχύσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ χορηγοῦντι διὰ σοῦ, πᾶσι τὰ κρείττονα.

**Ἕτερον τής Αγίας. Ἦχος δ'.**

Η ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ, Σὲ νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι, καὶ συνθάπτομαι τῷ βαπτισμῷ σου, καὶ πάσχω διὰ σέ, ὡς βασιλεύσω σὺν σοί, καὶ θνῄσκω ὑπέρ σου, ἵνα καὶ ζήσω ἐν σοί, ἀλλ' ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν σοι, Αὐτῆς πρεσβείαις, ὡς ἐλεήμων, σῶσον τάς ψυχὰς ἡμῶν.

**Δόξα Πατρί... Τοῦ Ὁσίου**

**Ηχος γ'. Τὴν ὡραιότητα.**

Τὴν καλλικέλαδον, καὶ λιγυραῖς μολπαῖς, κατακηλοῦσάν τε, καὶ ἀγλαΐζουσαν, τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, εὔλαλον ἀηδόνα· Δεῦτε εὐφημήσωμεν, Ἰωάννην τὸν πάνσοφον, τὸν Δαμασκηνὸν πιστοί, ὑμνογράφων τὸν πρύτανιν, τὸν ἔμπλεων, ἁπάσης γενόμενον, θείας καὶ κοσμικῆς σοφίας.

**Ἕτερον τοῦ Ὁσίου. Ἦχος πλ. δ'**

Ορθοδοξίας ὁδηγέ, εὐσεβείας διδάσκαλε καὶ σεμνότητος, τῆς οἰκουμένης ὁ φωστήρ, τῶν μοναζόντων θεόπνευστον ἐγκαλλώπισμα, Ἰωάννη σοφέ, ταῖς διδαχαῖς σοῦ πάντας ἐφώτι-

σας, λύρα τοῦ Πνεύματος· Πρεσβεῦε Χριστῷ τῷ Θεῷ σωθῆναι τάς ψυχὰς ἡμῶν.

## Καὶ νῦν... Θεοτοκίον.

Ὁ δι᾽ ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου, καὶ σταύρωσιν ὑπομείνας ἀγαθέ, ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας, καὶ ἔγερσιν δείξας ὡς Θεός, μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρὶ σοῦ, δεῖξον τὴν φιλανθρωπίαν σου ἐλέημον, δέξαι τὴν τεκοῦσαν σὲ Θεοτόκον πρεσβεύουσαν ὑπὲρ ἡμῶν καὶ σῶσον Σωτὴρ ἡμῶν, λαὸν ἀπεγνωσμένον.



# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

## Μετὰ τὴν α΄ Στιχολογίαν
## Καθίσματα τῆς Ἁγίας
### Ἦχος γ΄. Τὴν ὡραιότητα.

Ἐν τῇ ἀθλήσει σου, πάντας ἐξέπληξας, ὅτι ὑπέμεινας, τάς τῶν τυράννων πληγάς, δεσμὰ βασάνους φυλακάς, Βαρβάρα παναοίδιμε· Ὅθεν καὶ τὸν στέφανον, ὁ Θεὸς σοὶ δεδώρηται, ὅνπερ ἐπεπόθησας, ψυχικῶς καὶ προσέδραμες, αὐτὸς καὶ τάς ἰάσεις παρέχει, πᾶσι τοῖς πίστει προσιοῦσί σοι.

### Δόξα Πατρί... Ἦχος α΄. Τὸν τάφον σου Σωτὴρ.

Βαρβάρας ἀδελφοί, εὐλαβῶς συνελθόντες, τελέσωμεν φαιδρῶς, τὴν πανένδοξον μνήμην, αὐτὴ ἀνακραυγάζοντες· Ἀθληφόρε πολύαθλε, ἡ ἀθλήσασα, καὶ ἐν Ἐδὲμ δοξασθεῖσα, ῥῦσαι ἅπαντας, τῆς τῶν παθῶν ἀδοξίας, σεπταῖς σου δεήσεσι.

### Καὶ νῦν... Θεοτοκίον. Ὅμοιον.

Ὡράθης Χερουβίμ, ὑπερέχουσα Κόρη, ἐδείχθης Σεραφίμ, Μαριὰμ ὑπέρτερα, ἀγκάλαις σου βαστάσασα, τὸν Δεσπότην τῆς κτίσεως· ὃν δοξάζουσι τῶν οὐρανῶν αἱ δυνάμεις, ὅθεν πάντες σέ, ὡς ἀληθῆ Θεοτόκον, συμφώνως δοξάζομεν.

## Μετὰ τὴν β΄ Στιχολογία
## Καθίσματα τοῦ Ὁσίου
### Ἦχος α΄. Τὸν τάφον σου Σωτὴρ.

Ηδύφωνος Αὐλός, μεγαλόφωνος Σάλπιγξ, Κιθάρα μελουργός, λιγυρὰ θεία Λύρα· Κινύρα παναρμόνιος, μουσικώτατον ὄργανον, ἐμπνεόμενον, τοῦ Παρακλήτου ταῖς αὔραις, αναδέδειξαι, ὦ Ἰωάννη καὶ θέλγεις, ἡμῶν τὰ νοήματα.

### Δόξα Πατρί... Ὅμοιον.

Υμνοῦμεν τοὺς σεπτούς, καὶ ἁγίους ἀγῶνας, οὓς ἔτλης ἀληθῶς, ὑπὲρ τῆς Ἐκκλησίας, γεραίροντες ἐν ᾄσμασι, τὰ σεπτὰ μελωδήματα, ἃ κατέλιπες, εἰς ὑμνῳδίαν Κυρίου, ἀξιάγαστε,

καὶ τῶν πιστῶν εὐφροσύνην, Ἰωάννη πανεύφημε.

**Καὶ νῦν... Θεοτοκίον. Ὅμοιον.**

Μητέρα τοῦ Θεοῦ, ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθω καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα, σὲ γὰρ ἔχομεν ἁμαρτωλοὶ προστασίαν, σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην Πανάμωμον.

## Μετὰ τὸν Πολυέλεον
## Καθίσματα τῆς Ἁγίας
**Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.**

Ἀντὶ πόνων ὀδύνης, ἡ τῶν ἀγγέλων σέ, καθυπεδέξατο τέρψις, καὶ μετουσία χαρᾶς, νοητῆς μάρτυς Βαρβάρα ἀξιάγαστε, ἔνθα μαρτύρων ἀληθῶς, αἱ λαμπρότητες σεμνή, ἔνθα τὸ φῶς καταυγάζει, τοῦ Νυμφίου τοῦ γλυκυτάτου, ὃν ἐκδυσώπει τοῦ σωθῆναι ἡμᾶς.

**Δόξα Πατρί... Ὅμοιον.**

Ἐναργέστερον ὄντως, πυρὸς τὸν ἔρωτα, τὸν θεϊκὸν δεξαμένη, τὸ ἀσεβὲς τοῦ πατρός, ἐβδελύξω νουνεχῶς, Βαρβάρα ἔνδοξε, καὶ εὐσεβείας τὴν ὁδόν, διὰ βασάνων καὶ σφαγῆς, ἐτέλεσας γηθοσύνως· ὅθεν μάρτυς ζωῆς μετέσχες, τῆς αἰωνίου σὺν μαρτύρων χοροῖς.

**Καὶ νῦν... Θεοτοκίον. Ὅμοιον.**

Χαῖρε ἄχραντε Κόρη καὶ ὑπερύμνητε, τοῦ Πατρὸς ἡ τὸν Λόγον ἀποτεκοῦσα φρικτῶς· χαῖρε Δέσποινα Μαρία ἀπειρόγαμε· χαῖρε ἡ πύλη τῆς ζωῆς· χαῖρε τὴν φύσιν τῶν βροτῶν, θειώσασα τῷ σῷ τόκῳ ἀνύμφευτε χαῖρε νύμφη, ἡ προστασία τῶν τιμώντων σέ.

**Εἰς τοὺς Ἀναβαθμούς. Τὸ α' Ἀντίφωνον τοῦ δ' Ἤχου.**

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ μὲ πάθη, ἀλλ' αὐτὸς ἀντιλαβοῦ καὶ σῶσον Σωτήρ μου. **(δίς)**

Οἱ μισοῦντες Σιὼν αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου, ὡς χόρτος

γὰρ πυρὶ ἔσεσθε ἀπεξηραμμένοι. (δίς)

Δόξα Πατρί...

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται καὶ καθάρσει ὑψοῦται λαμπρύνεται, τῇ Τριαδικὴ μονάδι ἱεροκρυφίως.

Καὶ νῦν...

Ἁγίῳ Πνεύματι ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

Προκείμενον.

Υπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι.

Στίχος: Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.

Πᾶσα Πνοὴ & τὸ Εὐαγγέλιον,
ζήτει τῳ ιζ' Σαβ. Ματθαίου.
Ο Ν' Ψαλμὸς χύμα.
Ηχος β'

Δόξα Πατρί... Ταῖς τῆς σῆς Ἁγίας, πρεσβείαις ἐλέημον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν... Ταῖς τῆς Θεοτόκου πρεσβείαις ἐλέημον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στίχος: Ἐλέησον μὲ ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τὸ ἀνόμημά μου.

Ηχος β'. Ἰδιόμελον.

Ἀποσκοποῦσα πρὸς μόνα, τὰ ἐν οὐρανοῖς ἀποκείμενα, ἀγαθὰ τῆς αἰωνίου ζωῆς, τῆς παρούσης ὡς φθειρομένης, Βαρβάρα μάρτυς κατεφρόνησας· ὅθεν τὸ ἀσεβὲς ἐλέγξασα τοῦ Πατρός, διὰ πολυτρόπων βασάνων, καὶ τῆς ἐθελουσίου σφαγῆς, πρὸς τὸν ποθούμενον ἀνέδραμες Χριστόν, ᾧ ἀκηράτῳ συναφείᾳ ἐνυμφεύθης, προῖκα αὐτῷ πολύτιμον, τὸ αἷμά σου προσενεγκοῦσα. Διὸ ἱκέτευε ἀεὶ ὑπὲρ ἡμῶν, τῶν τελούντων ἐν ἐγκωμίοις, τὴν φωτοφόρον μνήμην σου.

Εἶτα ὁ Κανὼν τῆς Θεοτόκου,
οἱ Κανόνες τῆς Ἁγίας καὶ τοῦ Ὁσίου.
Ποίημα Στεφάνου Σαββαΐτου. Ἄνευ ἀκροστοιχίδος.
Ὠδὴ α΄. Ἦχος β΄. Ὁ Εἱρμός.

«Ἐν βυθῷ κατέστρωσε ποτέ, τὴν Φαραωνίτιδα, πανστρατιὰν ἡ ὑπέροπλος δύναμις, σαρκωθεὶς ὁ Λόγος δέ, τὴν παμμόχθηρον ἁμαρτίαν ἐξήλειψεν, ὁ δεδοξασμένος Κύριος, ἐνδόξως γὰρ δεδόξασται».

Ὢ Τριὰς ὑπέρθεε σεπτή, ἡ τῶν ὑπὲρ ἔννοιαν, τὴν δωρεὰν σοῖς οἰκέταις βραβεύουσα, φωτοφόρον ἔμπνευσον, τῇ ζοφώδει μου, διανοίᾳ ἀμάρυγμα, τὴν σὴν εὐφημῆσαι Μάρτυρα, Βαρβάραν τὴν ἀοίδιμον.

Ἐγκωμίων ἅπαντα θεσμόν, ὄντως ὑπερβέβληκε, τῶν σῶν Μαρτύρων ἡ δόξα Φιλάνθρωπε, ἀλλὰ τὸ ἐκ πίστεως κατὰ δύναμιν, δεδεγμένος ἐφύμνιον, ἀντικαταπέμποις, Δεσπότα πλουσίως τὴν ἀντίδοσιν.

Ἀκανθώδους ῥίζης ἐκφυέν, ῥόδον ἱερώτατον, τὴν Ἐκκλησίαν Χριστοῦ εὐωδίασεν, ἡ τῷ ἐρυθήματι, τῆς ἀθλήσεως, φοινιχθεῖσα δι᾽ αἵματος, ἔνδοξος Βαρβάρα, ἥνπερ ἐπαξίως μακαρίζομεν.

Κανὼν δεύτερος τῆς Ἁγίας, φέρων ἀκροστοιχίδα ἄνευ Θεοτοκίων τήνδε «Νέμοις νοσοῦσιν ἄκος ἁγνὴ Βαρβάρα».
Ποίημα Ἰωάννου.
Ἦχος ὁ αὐτός. Ἄτριπτον ἀσυνήθη.

Νύμφης ἀγλαηφόρου, Χριστοῦ καὶ παναμώμου Βαρβάρας μνήμη, ἡ εὐκλεὴς συνήθροισεν ἡμᾶς, ἣν φαιδρῶς αἰνέσωμεν, ὅτι δεδόξασται.

Ἔλαμπες ἀθληφόρε, Βαρβάρα ταῖς ἀκτῖσι τοῦ σοῦ προσώπου, τῷ τῆς ψυχῆς δὲ κάλλει τὸν Χριστόν, πολλῷ πλέον ἔτερπες, ὅτι δεδόξασται.

Μύσασα τάς αἰσθήσεις, τοῦ ῥέοντος Βαρβάρα ἠρνήσω πάντα, παρθενομάρτυς κόσμου τὰ τερπνά, καὶ Χριστὸν ἐπόθησας, ὅτι δεδόξασται.

Ὅλην σου τὴν ἐλπίδα, Βαρβάρα ἐν Κυρίῳ ἀναθεμένη, γάμου περιεφρόνησας φθαρτοῦ, καὶ παρθένος ἄμεμπτος, Χριστοῦ τετήρησαι.

**Θεοτοκίον.**

Ὥδευσε διὰ πύλης, ἀβάτου κεκλεισμένης τῆς σῆς νηδύος, δικαιοσύνης Ἥλιος Ἁγνή, καὶ τῷ κόσμῳ ἔλαμψεν, ὅτι δεδόξασται.

**Τοῦ Ὁσίου. Ὁ αὐτός.**

Τῷ τοῖς σοῖς ἐπαίνοις ἐγχειρεῖν, μέλλοντι παρεῖναί σου, ἔδει φωνὴν τὴν μελίρρυτον Ὅσιε, δι᾽ ἧς τὴν ὀρθόδοξον, κατεφαίδρυνας, Ἐκκλησίαν τοῖς ᾄσμασι, Πάτερ, Ἰωάννη, ἥτις σοῦ γεραίρει τὸ μνημόσυνον.

Ὡς σοφός, ἀγχίνους τε κριτής, τὴν τῶν ὄντων ἄριστα, φύσιν σκοπῶν, τῶν ἀστάτων προέκρινας· τὰ διαιωνίζοντα, τῶν προσκαίρων γάρ, ἀντηλλάξω τὰ κρείττονα, Πάτερ, Ἰωάννη, ὅθεν σὲ καὶ νῦν Χριστὸς ἐδόξασεν.

**Θεοτοκίον.**

Ἰσωθῆναι πόθον μοι ἐνθείς, ὄφις ὁ παμπόνηρος, τῷ Πλαστουργῷ ὡς αἰχμάλωτον ἥρπασε διὰ σοῦ δὲ Πάναγνε, ἀνακέκλημαι θεωθεὶς ἀληθέστατα σὺ γὰρ Θεομῆτορ, τὸν ἐμὲ θεώσαντα γεγέννηκας.

**Καταβασία.**

«Χριστὸς γεννᾶται, δοξάσατε, Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε, Χριστὸς ἐπὶ γῆς, ὑψώθητε, Ἄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, καὶ ἐν εὐφροσύνῃ, ἀνυμνήσατε λαοί, ὅτι δεδόξασται».

**Ὠδὴ γʹ. Τῆς Ἁγίας. Ὁ Εἱρμός.**

«Ἐξήνθησεν ἡ ἔρημος, ὡσεὶ κρίνον Κύριε, ἡ τῶν ἐθνῶν στειρεύουσα, Ἐκκλησία τῇ παρουσίᾳ σου, ἐν ᾗ ἐστερεώθη ἡ καρδία μου».

Τετρωμένη τοῦ πόθου σου, ὡς νυμφίου Δεσπότα, τῷ γλυκυτάτῳ βέλει, ἡ ἀθληφόρος Βαρβάρα, ἅπασαν πατρικὴν ἀθεΐαν ἐβδελύξατο.

Οὐ τρυφῆς ἡ τερπνότης, οὐκ ἄνθος κάλλους πλοῦτός τε, οὐχ ἡδοναὶ νεότητος, ἔθελξάν σε Βαρβάρα ἔνδοξε, τῷ Χριστῷ νυμφευθεῖσα καλλιπάρθενε.

Πρὸς τελείους ἀγῶνας, οὐδὲν ἐδείχθη κώλυμα, τὸ ἀσθενὲς τοῦ θήλεος, οὐ τὸ νέον τῆς ἡλικίας Χριστέ, ἀκηράτῳ σου σθένει δυναμούμενον.

**Κανὼν δεύτερος. Τῆς Ἁγίας. Τόξον συνετρίβη.**

Ἰσχύος ἐν πύργῳ, διάγουσα Χριστοῦ, καὶ χάριτος ἡ σεμνή, Βαρβάρα πεπλήρωται.

Συνήνθει τῷ κάλλει ἀρετή, Βαρβάρας τῆς ἁγνῆς, δι᾽ ἧς πρὸς ἀθλητικούς, ἀγῶνας ἐχώρησε.

Νεᾶνις ἀκήρατος αὐτῷ, νυμφίῳ τῷ Χριστῷ, πεφύλακται καὶ φθοράς, Βαρβάρα ἀναίτιος.

**Θεοτοκίον.**

Νύμφην ἐκλεχθεῖσαν τῷ Θεῷ, ὑμνοῦμεν σέ, δι᾽ ἧς, Χριστὸς ἐν τοῖς ἐπὶ γῆς, βρέφος ἀναδέδεικται.

**Τοῦ Ὁσίου. Ὁ αὐτός.**

Ἐσκόρπισας τὸν πλοῦτον, Θεῷ δανείζων, ὅθεν σοι, τῶν οὐρανῶν ηὐτρέπισται, βασιλεία, ἀλλὰ καὶ νῦν, ἀμοιβὴν Ἰωάννη, ἐδέξω πολυπλάσιον.

Τῆς σοφίας τὸ τάλαντον, δεδεγμένος πράξεσι, κατακοσμεῖς ἀοίδιμε, Ἰωάννη τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, ὃ πολυπλασιάζεις καὶ τὸν βίον λιπών.

**Θεοτοκίον**

Τὰ τάγματα ἐξέστησαν, τῶν Ἀγγέλων Πάναγνε, καὶ τῶν ἀνθρώπων ἔφριξαν, αἱ καρδίαι ἐπὶ τῷ τόκῳ σου, διὸ σὲ Θεοτόκον πίστει σέβομεν.

**Καταβασία.**

«Τῷ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεννηθέντι ἀρρεύστως Υἱῷ, καὶ ἐπ' ἐσχάτων ἐκ Παρθένου, σαρκωθέντι ἀσπόρως, Χριστῷ τῷ Θεῷ βοήσωμεν, Ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, Ἅγιος εἶ Κύριε».

**Κοντάκιον τοῦ Ὁσίου.**

**Ἦχος β'. Τὰ ἄνω ζητῶν.**

Δαμάσας πολλοῖς, ἱδρῶσι τῆς ἀσκήσεως, τὸ σῶμα τὸ σόν, εἰς ὕψος οὐράνιον, εὐπετῶς ἀνέδραμες, ὅπου μέλη θεῖά σοι δίδονται, ἃ τρανῶς ἐμελώδησας, τοῖς φίλοις Κυρίου Πάτερ Ὅσιε.

**Κάθισμα τῆς Ἁγίας**

**Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Τὸν νυμφίον σου Χριστὸν ἀγαπήσασα, τὴν λαμπάδα σου φαιδρῶς εὐτρεπίσασα, ταῖς ἀρεταῖς διέλαμψας Πανεύφημε, ὅθεν εἰσελήλυθας, σὺν αὐτῷ εἰς τοὺς γάμους, τὸ στέφος τῆς ἀθλήσεως, παρ' αὐτοῦ δεξαμένη, ἀλλ' ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, τοὺς ἐκτελοῦντας Βαρβάρα τὴν μνήμην σου.

**Ἕτερον. Τῆς Ἁγίας**

**Ἦχος γ'. Θείας πίστεως.**

Θείαις ῥήσεσι, Χριστοῦ πεισθεῖσα, ὡμολόγησας ἐπὶ τυράννων, ὦ Βαρβάρα αὐτὸν ὡς θεόσοφος, Θεὸν ὁμοῦ τε καὶ ἄνθρωπον τέλειον, καὶ τῶν ἀνθρώπων Σωτῆρα φιλάνθρωπον· ὃν ἱκέτευε, δωρήσασθαι τοῖς τιμῶσι σέ, πταισμάτων ἱλασμὸν καὶ μέγα ἔλεος.

**Δόξα Πατρί... Τοῦ Ὁσίου.**

**Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.**

Τὴν τοῦ βίου ἀπάτην ἀποκρουσάμενος, τὸν Σταυρὸν τοῦ Κυρίου ἀναλαβόμενος, ἀσκητικῶς τὸν πονηρὸν κατεπάλαισας, τῆς ἐρήμου πολιστής, φωστὴρ τοῦ κόσμου νοητῶς, ἀναδειχθεὶς θεοφόρε, διὸ πρεσβεῦε τῷ Σωτῆρι, ἐλεηθῆναι τάς ψυχὰς ἡμῶν.

**Καὶ νῦν... Θεοτοκίον.**

Τὸ ἐξαίσιον θαῦμα τὸ τῆς συλλήψεως, καὶ ὁ ἄφραστος

τρόπος ὃ τῆς κυήσεως, ἐν σοὶ ἐγνώρισται Ἁγνὴ ἀειπάρθενε, καταπλήττει μου τὸν νοῦν, καὶ ἐξιστᾷ τὸν λογισμόν, ἡ δόξα σου Θεοτόκε, τοῖς πᾶσιν ἐφαπλουμένη, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

**Ὠδὴ δ'. Τῆς Αγίας. Ὁ Εἱρμὸς.**

«Ἐλήλυθας, ἐκ Παρθένου οὐ πρέσβυς οὐκ Ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος, καὶ ἔσωσας ὅλον μὲ τὸν ἄνθρωπον, διὸ κραυγάζω σοι, Δόξα τῇ δυνάμει σου Κύριε».

Ἐκ Παρθένου, γεννηθεὶς ἐδωρήσω νεάνισι, Παρθένοις τὸ φρύαγμα, καταβαλεῖν τοῦ ἀλάστορος, ὅθεν ἡ καλλίνικος Βαρβάρα, τούτου τὸ θράσος κατεπάτησε.

Τῷ Σταυρῷ σου, τοῦ θανάτου τὴν δύναμιν ἔλυσας, ἐντεῦθεν τοῦ σώματος, Κόρη Χριστὲ ἀφειδήσασα, φέρει γενναιότατα, τοὺς αἰκισμοὺς ἡ Βαρβάρα στερροτάτη φρενί.

Η προμήτωρ, μηχαναῖς τοῦ δολίου θελχθεῖσα τὸ πρίν, τρυφῆς ἐξωστράκισται, τοῦ Παραδείσου, Βαρβάρα δέ, τοῦτον ἐκφαυλίσασα, ἐν οὐρανίῳ νυμφῶνι νῦν αὐλίζεται.

**Κανὼν δεύτερος. Τῆς Ἁγίας. Ἀκήκοα Κύριε.**

Οὐ φέρεις ἡ ἄμεμπτος, τὴν τοῦ πατρός σου τοῦ ἐπιγείου, δυσσέβειαν ἐλέγχεις δέ, σὺν παρρησίᾳ ταύτην ἔνδοξε.

Σοφία συνέσεως, ἠγλαϊσμένη μάρτυς Βαρβάρα, τῆς Τριάδος τὸ μυστήριον, τρισὶ θυρίσιν ἐξεικόνισας.

Ὀλέθρου κατάλυσιν, τύποις δακτύλοις δόξα μαρτύρων, ἐν μαρμάροις τὴν σημείωσιν, τοῦ σταυρωθέντος καὶ Νυμφίου σου.

Ὑψοῦ· ἀνακείμενα, τῆς ἀσεβείας πυρπολουμένη, καταλέλυκας τὰ εἴδωλα, τῷ θείῳ ζήλῳ, Μάρτυς ἔνδοξε.

**Θεοτοκίον.**

Νομίμων τῆς φύσεως, ἄτερ μόνη τεκοῦσα, τὸν δεσπόζοντα

τῆς κτίσεως, κατηξιώθης θείας κλήσεως.

**Τοῦ Ὁσίου. Ὁ αὐτός.**

Διατάξει, τοῦ Χριστοῦ πειθαρχήσας κατέλιπες, τοῦ κόσμου τερπνότητα, πλοῦτον τρυφὴν περιφάνειαν, ᾧ τινὶ ἀράμενος, τὸν σὸν σταυρὸν Ἰωάννη ἠκολούθησας.

Συμπτωχεύσας, εἰς βροτῶν σωτηρίαν πτωχεύσαντι, Χριστῷ συνδεδόξασαι, ὥσπερ αὐτὸς ἐπηγγείλατο, καὶ συμβασιλεύεις δέ, τῷ εἰς ἀεὶ Ἰωάννη βασιλεύοντι.

**Θεοτοκίον.**

Σὲ λιμένα, σωτηρίας καὶ τεῖχος ἀκράδαντον, Θεοτόκε Δέσποινα, πάντες πιστοὶ ἐπιστάμεθα, σὺ γὰρ ταῖς πρεσβείαις σου, ἐκ κινδύνων λυτρούσαι τάς ψυχὰς ἡμῶν.

**Καταβασία.**

«Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐξ αὐτῆς Χριστέ, ἐκ τῆς Παρθένου ἀνεβλάστησας, ἐξ ὄρους ὁ αἰνετός, κατασκίου δασέος, ἦλθες σαρκωθεὶς ἐξ ἀπειράνδρου, ὁ ἄϋλος καὶ Θεός, Δόξα τῇ δυνάμει σοῦ Κύριε».

**Ὠδὴ ε'. Τῆς Ἁγίας. Ὁ Εἱρμός.**

«Μεσίτης Θεοῦ, καὶ ἀνθρώπων γέγονας, Χριστὲ ὁ Θεός, διά σοῦ γὰρ Δεσπότα, τὴν πρὸς τὸν ἀρχίφωτον Πατέρα σου, ἐκ νυκτὸς ἀγνωσίας, προσαγωγὴν ἐσχήκαμεν».

Θυρίσι τρισί, τὸ λουτρὸν φωτίζεσθαι κελεύσασα, μυστικῶς διέγραψας, Βάπτισμα Βαρβάρα τῆς Τριάδος φωτί, τῶν ψυχῶν σελασφόρον, ὑπάρχον καθαρτήριον.

Μανίαν δεινήν, τοῦ πατρὸς ἐκκλινοῦσαν, Βαρβάραν σχισθέν, εὐθὺς ὑπεδέξατο, ὄρος, ὥσπερ πάλαι τὴν ἀοίδιμον, πρωτομάρτυρα Θέκλαν, Χριστοῦ τερατουργήσαντος.

Τοῦ ὄντως Θεοῦ, πυρωθεῖσα ζήλῳ ψευδωνύμων Θεῶν, εἰς αἰσχρὰ ἐνέπτυσε, πρόσωπα Βαρβάρα ἡ Πανεύφημος, καταπαί-

ζουσα Κόρη, τοῦ δῆθεν κοσμοκράτορος.

**Κανὼν δεύτερος. Τῆς Ἁγίας. Ἀκήκοα Κύριε.**

Σκηνώσεις τάς οὐρανίους κατὰ νοῦν φέρουσα, ἡ μακαριωτάτη Βαρβάρα ἐπείγετο, πρὸς ἐκείνας ἐξαναπτῆναι, καὶ τοῖς Ἀγγέλοις, εἶναι ὁμοδίαιτος.

Ἰλῦος ἀπὸ πηλοῦ τῶν κοσμικῶν ἄχραντε, ματαιοτήτων σεαυτὴν χωρίσασα, τῆς αὔλου πρὸς θεωρίαν, θεολογίας μάρτυς κατηξίωσαι.

Νομίμως ὁ ἀφιλόστοργος πατὴρ πάναγνε, ὡς κατορθῶν σου τὸ ξίφος ὀλέσει σὲ· ἀλλ' ἐσφάλη τῆς αὐθαδείας Χριστὸς ἡ πέτρα γὰρ σὲ προσεδέξατο.

**Θεοτοκίον.**

Τῷ βίῳ και τῷ σαρκίῳ μου τὸ φῶς ἔλαμψε, καὶ τὸ στυγνὸν τῆς ἁμαρτίας ἔλυσεν, ἐπ' ἐσχάτων ἐκ τῆς Παρθένου, ἄνευ σπορὰς σωματωθεὶς ὁ Ὕψιστος.

**Τοῦ Ὁσίου. Ὁ αὐτός.**

Τῷ φόβῳ Χριστοῦ, Πάτερ στοιχειούμενος, πρὸς θείαν ζωήν, τῆς σαρκὸς τὸ φρόνημα, ὅλον καθυποτάξας τῷ πνεύματι, τάς σαυτοὺ Ἰωάννη, αἰσθήσεις καθαιρόμενος.

Καθάρας παντός, μολυσμοῦ τὸ σῶμα, καὶ ψυχὴν καὶ τὸν νοῦν, ἐμμελῶς θεόσοφε, αἴγλην ὑπεδέξω τὴν τρισήλιον, Ἰωάννη λαμπροῖς σέ, πλουτίζουσαν χαρίσμασι.

**Θεοτοκίον.**

Δυσώπει τὸν σόν, Υἱὸν καὶ Κύριον, Παρθένε ἁγνή, αἰχμαλώτοις λύτρωσιν, τοῖς ἐξ ἐναντίας περιστάσεως, ἐπί σοι πεποιθόσιν, εἰρηνικὴν δωρήσασθαι.

**Καταβασία**

«Θεὸς ὢν εἰρήνης, Πατὴρ οἰκτιρμῶν, τῆς μεγάλης βουλῆς σου τὸν Ἄγγελον, εἰρήνην παρεχόμενον, ἀπέστειλας ἡμῖν, ὅθεν θεογνωσίας, πρὸς φῶς ὁδηγηθέντες, ἐκ νυκτὸς ὀρθρίζοντες,

δοξολογοῦμεν σὲ Φιλάνθρωπε».

**Ὠδὴ ς΄. Τῆς Αγίας. Ὁ Εἱρμός.**

«Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος, τὴν ἀνεξιχνίαστον τῆς εὐσπλαγχνίας σου, ἐπικαλοῦμαι ἄβυσσον· Ἐκ φθορᾶς ὁ Θεὸς μὲ ἀνάγαγε».

Ὡς ὑπέσχου σοφίαν δεδώρησαι, Σῶτερ θεοδίδακτον, τοῖς σὲ κηρύττουσι, δικαστικοῦ πρὸ βήματος, ἧς Βαρβάρα ἡ Μάρτυς ἐμπέπλησται.

Τῶν ἀθέων τὴν πλάνην διήλεγξε, λόγῳ θεοσόφῳ, Βαρβάρα ἡ ἔνδοξος, ὑπομονὴ τῶν ἔργων δέ, τῶν Τυράννων τάς φρένας ἐξέστησεν.

Αἰκισμοῖς ἀφειδῶς καταξαίνεσθαι, ῥάκεσι τριχίνοις εὐτόνως τε τρίβεσθαι, διὰ Χριστὸν ἡ ἄμεμπτος, Ἀθληφόρος τὸ σῶμα προδίδωσιν.

**Κανὼν δεύτερος. Τῆς Ἁγίας. Ηχου ῥημάτων δεήσεως.**

Ἀγωνοθέτῃ τῶν ἄθλων σοι, καθεστηκότι Δεσπότα Χριστέ, ἡ Βαρβάρα, ὡς ἀμνὰς παρείπετο, κράζουσα Σὺ τῆς ἐμῆς, ἀρωγὸς ἀθλήσεως.

Καταδιώκων τὴν Μάρτυρα, ὁ ἀπηνὴς καὶ δόλιος πατήρ, τοῦ ποιμένος τοῖς δολίοις νεύμασι, δράττεται οὐ μαλαχθείς, τῆς θεσμοῖς τῆς φύσεως.

Ὅλῃ ψυχῇ σὲ καρδίᾳ τε, καὶ διανοίᾳ Δεσπότα Χριστέ, ἡ Βαρβάρα, ἡ κλεινὴ ἠγάπησε, μύρου τε σοῦ εἰς ὀσμήν, ἀνενδότως ἔδραμεν.

**Θεοτοκίον.**

Ἐπιβοώμεθα πάντες σέ, τὴν ἀληθῆ μητέρα τοῦ Θεοῦ, παροργίσαντας, οἰκέτας ῥύσασθαι· μόνη γὰρ πρὸς τὸν Θεόν, παρρησίαν κέκτησαι.

## Τοῦ Ὁσίου. Ὁ αὐτός.

Ἐλλαμφθεὶς τῇ τοῦ Πνεύματος χάριτι, θείων ἀνθρωπίνων τε, γνῶσιν πραγμάτων τρανῶς, πεπλουτηκὼς τοῖς χρῄζουσιν, Ἰωάννη ἀφθόνως μετέδωκας.

Ἐφαμίλλως χοροῖς οὐρανίοις Σοφέ, τῶν Ἐκκλησιῶν ὀρθοδόξων ἐρρύθμισας, χοροστασίας ᾄσματα, προσφωνῶν τῇ Τριάδι θεόφθεγκτα.

## Θεοτοκίον

Ἀπειράνδρως Παρθένε ἐκύησας, καὶ διαιωνίζεις Παρθένος ἐμφαίνουσα, τῆς ἀληθοῦς θεότητος, τοῦ Υἱοῦ καὶ Θεοῦ σου τὰ σύμβολα.

## Καταβασία.

«Σπλάγχνων Ἰωνάν, ἔμβρυον ἀπήμεσεν, ἐνάλιος θήρ, οἷον ἐδέξατο, τῇ Παρθένῳ δέ, ἐνοικήσας ὁ Λόγος καὶ σάρκα λαβών, διελήλυθε φυλάξας ἀδιάφθορον, ἧς γὰρ οὐχ ὑπέστη ῥεύσεως, τὴν τεκοῦσαν κατέσχεν ἀπήμαντον».

## Κοντάκιον τῆς Ἁγίας.

## Ἦχος δʹ. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῷ ἐν Τριάδι εὐσεβῶς ὑμνουμένῳ, ἀκολουθήσασα σεμνὴ Ἀθληφόρε, τὰ τῶν εἰδώλων ἔλιπες σεβάσματα· μέσον δὲ τοῦ σκάμματος, ἐναθλοῦσα Βαρβάρα, τυράννων οὐ κατέπτηξας, ἀπειλὰς ἀνδρειόφρον, μεγαλοφώνως μέλπουσα ἀεί· Τριάδα σέβω τὴν μίαν θεότητα.

## Ὁ Οἶκος.

Τὴν νυμφευθεῖσαν τῷ Χριστῷ διὰ τοῦ μαρτυρίου, Βαρβάραν συνελθόντες τιμήσωμεν ἀξίως, ὅπως αὐτῆς ταῖς προσευχαῖς λύμης ψυχοφθόρου λυτρωθέντες, καὶ λοιμοῦ, σεισμού τε καὶ καταπτώσεως, τὸν βίον ἐν εἰρήνῃ διέλθωμεν, καταξιωθέντες μετὰ πάντων τῶν Ἁγίων, τῶν ἀπ᾽ αἰῶνος Θεῷ εὐαρεστησάντων, διάγειν ἐν φωτί, καὶ μέλπειν ἀξίως· ἐθαυμάστωσας Σῶτερ τὰ σὰ ἐλέη πᾶσι τοῖς πίστει ὁμολογοῦσι, Τριάδα σέβω τὴν μίαν θεότητα.

## Συναξάριον

**Τῇ Δ' τοῦ αὐτοῦ μηνός, Ἄθλησις τῆς Ἁγίας Μεγαλομάρτυρος Βαρβάρας.**

Στίχοι

· Ξίφει πατὴρ θύσας σέ, Μάρτυς Βάρβαρα,
· Ὑπῆρξεν ἄλλος Ἀβραὰμ διαβόλου.
· Βάρβαρα ἀμφὶ τετάρτῃ χερσὶ τοκῆος ἐτμήθη.

**Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν, Ἰωάννου Μοναχοῦ καὶ πρεσβυτέρου τοῦ Δαμασκηνοῦ.**

Στίχοι

· Πλήσας μελῶν γῆν ἡδέων Ἰωάννης,
· Κὰν οὐρανοῖς ἄνεισι συνθεῖναι μέλη.

**Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου πατρὸς ἡμῶν, Ιωάννου, Ἐπισκόπου Πολυβότου, τοῦ θαυματουργοῦ.**

Στίχοι

· Ἐπισκοπὴν γῆς ἐκλιπὼν Ἰωάννης,
· Ἐπισκοποῦντος πάντα τέρπεται θέα.

**Τῇ αὐτῇ ἡμέρᾳ, ἡ Ἁγία Ἰουλιανὴ ξίφει τελειοῦται.**

Στίχοι

· Ιουλιανὴν ὡς περιστερὰν δέχου,
· Εἰμὴ τάχει τέμνοιτο, τρίζουσαν Λόγε.

**Τῇ αὐτῇ ἡμέρᾳ, οἱ Ἅγιοι Χριστόδουλος καὶ Χριστοδούλη ξίφει τελειοῦνται.**

Στίχοι

· Συνωνυμῶν σοι, παρθένε Χριστοδούλη,
· Ὁ Χριστόδουλος, καὶ συναθλεί σοι ξίφει.

**Ὁ ἅγιος νέος Ἱερομάρτυς Σεραφεὶμ ὁ Φαναρίου ἐπίσκο-πος, ὁ μαρτυρήσας ἐν ἔτει 1601, σούβλῃ διαπαρεὶς τελειοῦται.**

Στίχοι

· Ὁ γῆς Σεραφεὶμ θετταλὼν φὺς ὡς κλάδος,
· Θεῷ Λόγῳ πρόσεισι ῥείθροις αἱμάτων.

**Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον, καὶ σῶσον ἡμᾶς. Ἀμήν.**

**Ὠδὴ ζ΄. Τῆς Ἁγίας. Ὁ Εἱρμός.**

«Ἀντίθεον πρόσταγμα παρανομοῦντος, τυράννου μετάρσιον, τὴν φλόγα ἀνερρίπισε, Χριστὸς δὲ ἐφήπλωσε θεοσεβέσι Παισί, δρόσον τὴν τοῦ Πνεύματος, ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος».

Ὁ γῆν καταλήψεσθαι καὶ ἐξαλείψειν, τὴν θάλασσαν τύραννος, εἰκαίως φρυαττόμενος, ὡς παίγνιον πρόκειται, Βαρβάρας κόρης ποσί· τοῦτον ἐκνευρίσας γὰρ Χριστός, ὥσπερ στρουθίον σαθρὸν ἐδέσμευσε.

Πληγαῖς ἀφορήτοις σου καταξανθέντος, τοῦ σώματος ὅλου τε, βαφέντος ἐν αἱμάτων ῥοαῖς, λαμπάσιν ὑπέμεινας, φλογιζομένη πλευράς, Μάρτυς παναοίδιμε, Χριστῷ εὐχαριστοῦσα, Βαρβάρα ἔνδοξε.

Ὢ τῆς ἀπανθρώπου τε καὶ ἀναλγήτου, τυράννων ὠμότητος, καὶ πλείστης ἀθεότητος! μαστοὺς γὰρ τῆς Μάρτυρος, ὡς ἐν μακέλλῳ δεινῶς, ξίφεσι κατέτεμνον, τὸν νοῦν προσερειδούσης τῷ ζωοδότῃ Χριστῷ.

**Κανὼν δεύτερος. Τῆς Ἁγίας. Ῥήτορες ἀνεδείχθησαν.**

Σιδήρου στερροτέρα τῇ γνώμῃ, εἰς τὴν ἀγάπησιν Χριστοῦ, καθεστηκυῖα βασάνων, ἡ Ἀθλοφόρος ὅλως οὐκ ᾔσθετο, ἀλλ' ἀνέμελπε· Ὁ τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἀγώνων, ὁ Σωτὴρ οὐρανόθεν, τῶν σῶν θεώμενος σεμνή, τοὺς ἐπιπόνους ἱδρῶτας, ἐπικροτεῖ καὶ θάρσος σοι δίδωσιν, ἐπακούει τε, μελῳδούσης σου πιστῶς· Θεὸς εὐλογητὸς εἶ.

Γνησία, διαθέτει ὁρῶσα, καὶ συμπαθείᾳ λογισμῶν, Ἰουλιανὴ σὲ Βαρβάρα, ἐν τῷ σταδίῳ πίστει προσέδραμε, καὶ τῶν ἄθλων σου κοινωνεῖ καὶ ἀνυμνεῖ· Καὶ γὰρ εὐλογητὸς εἶ.

Νέας τε, καὶ ἀνθούσας τὰς ὄψεις, ὡραϊσμῷ πανευκλεεῖ, οὐκ αἰδεσθεὶς ὁ ἀλάστωρ, τὰς Ἀθλοφόρους πάμπαν ἐγύμνω-

σε· σὺ δὲ Ὕψιστε, συνεκάλυψας αὐτάς· Καὶ γὰρ εὐλογητὸς εἶ.

**Θεοτοκίον.**

Βέβηλος, ὁ μὴ ἕνα κηρύττων, τὸν τῆς Παρθένου σὲ Υἱόν, τῆς πανυμνήτου Τριάδος, καὶ ἀδιστάκτῳ γνώμῃ καὶ γλώσσῃ βοῶν· Ὁ ὑπέρθεος τῶν πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

**Τοῦ Ὁσίου. Ὁ αὐτός.**

Τῷ ζήλῳ πυρούμενος τῶν θεομάχων, αἱρέσεων ἅπασαν, κακόνοιαν ἀνέτρεψας, συντόνοις συγγράμμασι, λευκάνας πᾶσι τρανῶς, πάλαι τὰ σποράδην τοῖς σοφοῖς, ὦ Ἰωάννη, συγγεγραμμένα ἰσχνῶς.

Θερμῶς ἐστηλίτευσας τῶν δυσωνύμων, τροφίμων τοῦ Μάνεντος, τὴν βλάσφημον ἀσέβειαν, νοθεῦσαι πειραθεῖσαν, τὴν Ἐκκλησίαν Χριστοῦ, λόγοις τε καὶ δόγμασιν ὀρθοῖς, ὦ Ἰωάννη, οἷς περ συντέθεικας.

**Θεοτοκίον.**

Ἁγίων Ἁγίαν σὲ κατανοοῦμεν, ὡς μόνην κυήσασαν, Θεὸν τὸν ἀναλλοίωτον Παρθένε ἀμόλυντε, Μήτηρ ἀνύμφευτε, πᾶσι γὰρ ἐπήγασας πιστοῖς, τὴν ἀφθαρσίαν τῷ θείῳ τόκῳ σου.

**Καταβασία.**

«Οἱ Παῖδες εὐσεβείᾳ συντραφέντες, δυσσεβοῦς προστάγματος καταφρονήσαντες, πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησαν, ἀλλ᾽ ἐν μέσῳ τῆς φλογός, ἑστῶτες ἔψαλλον· Ὁ τῶν Πατέρων, Θεὸς εὐλογητὸς εἶ».

**Ὠδὴ η᾽. Τῆς Ἁγίας. Ὁ Εἱρμός.**

«Κάμινος ποτέ, πυρὸς ἐν Βαβυλῶνι, τάς ἐνεργείας διεμέριζε, τῷ θείῳ προστάγματι, τοὺς Χαλδαίους καταφλέγουσα, τοὺς δὲ πιστοὺς δροσίζουσα ψάλλοντας· Εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον».

Ὤφθη σοι Χριστός, φωτὶ ἐν ἀπροσίτῳ, ἐγκαθειργμένη ὦ Βαρβάρα, φρουρά, θαρρεῖν προτρεπόμενος, καὶ τοὺς μώλωπας ἰώμενος, καὶ χαρμονὴν δωρούμενος· ὅθεν ἀνεπτερώθης, τοῦ σοῦ Νυμφίου τῷ ἔρωτι.

Ἄγγελος φαιδρός, στολὴν φωτοειδῆ σέ, διὰ Χριστὸν γεγυμνωμένην, σεμνὴ Βαρβάρα ἠμφίασε, καὶ ὡς νύμφην περιήγαγε· τὰ πάθη τῇ ἐσθῆτι γάρ, Μάρτυς συνεξεδύσω, θείαν ἐκστᾶσα ἀλλοίωσιν.

Δέδεικται σαφῶς, Χριστὲ ἡ πρόρρησίς σου, πεπληρωμένη· πατὴρ τέκνον γάρ, εἰς φόνον προδίδωσιν, αὐτουργός τε τῆς σφαγῆς γεγονώς, ὁ δείλαιος γεννήτωρ, τῆς σῆς Μάρτυρος, οὐρανίῳ, ὅθεν πυρὶ κατηνάλωται.

**Κανὼν δεύτερος. Τῆς Ἁγίας. Ἰνδάλματος Χριστοῦ.**

Η σὰρξ μὲν ἀσθενής, ἀλλὰ πρόθυμον τὸ πνεῦμα, Κύριος ἔφη. Μαστοκοπούμεναι ἀλλήλας ἐν τῷ σταδίῳ αἱ Ἀθληφόροι, ταύτῃ τῇ φωνῇ προτρέπονται· Μὴ οὖν δειλιῶμεν· ἐγγὺς γὰρ τὸ τέλος καὶ ὁ Νυμφίος, ὃν ὑπερυψοῦμεν, Χριστὸν εἰς τοὺς αἰῶνας.

Βαρβάρας ὁ ἀγών, καταπλήττει μὲν δυνάμεις τάς οὐρανίους, πρὸς γυμνασίαν δέ, ἀνδρείας τὴν γυναικείαν διανιστὰ οὐσίαν καὶ Χριστῷ παρέπεσθαι, πείθει καὶ διδάσκει, μισεῖν τε τὸν κόσμον καὶ τὰ ἐν κόσμῳ, αἰνεῖν τε ἀπαύστως, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἀρώματα ποτέ, ἐν τῷ μνήματι προσφέρουσαι μυροφόροι, κατηξιώθησαν, ἰδέσθαι ἐξαναστάντα Χριστὸν ἐκ τάφου· νῦν δὲ ἑαυτὴν ἡ ἔντιμος, μάρτυς ἀντὶ μύρου, Βαρβάρα προσάγουσα, τῷ Δεσπότῃ, χαίρει ἀνυμνοῦσα, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ρευστὸν μὲν ἀδελφοί, καὶ ἐπίκηρον τὸ σῶμα ταῖς ἀσθενείαις· μὴ οὖν τρυφῶμεν, ἀπαιδεύτως καὶ θάλπειν τοῦτο πρὸς ἡδονάς, σπουδάζωμεν κακῶς οἱ δείλαιοι, ἄθλους τοὺς ἐνθέους, Βαρβάρας τῆς μάρτυρος ἐννοοῦντες, μεθ᾽ ἧς ἀνυμνοῦμεν, Χριστὸν εἰς τοὺς αἰῶνας.

**Θεοτοκίον.**

Λιμένα σὲ ἁγνή, Θεομῆτορ ἐπιστάμεθα σωτηρίας· τὸν σὺν Πατρὶ γάρ, καὶ τῷ Πνεύματι ἀχωρίστως δεδοξασμένον, Λόγον ὑπὲρ λόγον τέτοκας ὃν ἀκαταπαύστως, ὑμνείτω δοξάζου-

σα πᾶσα κτίσις, καὶ ὑπερυψούτω, Χριστὸν εἰς τοὺς αἰῶνας.

**Τοῦ Ὁσίου. Ὁ αὐτός.**

Ἤλεγξας σαφῶς, ἐγγράφως, Ἰωάννη, τοῦ Νεστορίου τὴν διαίρεσιν, Σεβήρου τὴν σύγχυσιν, μονοθέλητον παράνοιαν, καὶ πίστιν μονενέργητον, φέγγος ὀρθοδοξίας, πᾶσιν ἀστράψας τοῖς πέρασιν.

Ἔσπειρεν ἐχθρός, ζιζάνια συνήθως, αἱρετικῶν ἐν Ἐκκλησίᾳ Χριστοῦ, τὴν τούτου προσκύνησιν, ἀθετεῖσθαι ἐν εἰκόσι σεπταῖς, ἀλλ᾽, εὗρεν οὐ νυστάζοντα, πάντα δὲ Ἰωάννη, σπόρον σὲ νόθον ἐκτίλλοντα.

**Θεοτοκίον.**

Σὺ τὸν τοῦ Πατρός, ἀχώριστον ἐν μήτρᾳ, θεανδρικῶς πολιτευσάμενον, ἀσπόρως συνέλαβες, καὶ ἀφράστως ἀπεκύησας Θεογεννῆτορ Πάναγνε· ὅθεν σὲ σωτηρίαν, πάντων ἡμῶν ἐπιστάμεθα.

**Καταβασία.**

«Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος, ἐξεικόνισε κάμινος τύπον, οὗ γὰρ οὓς ἐδέξατο φλέγει Νέους, ὡς οὐδὲ πῦρ τῆς θεότητος· Παρθένου ἣν ὑπέδυ νηδύν, διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· Εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας».

**Ὠδὴ θ΄. Τῆς Ἁγίας. Ὁ Εἱρμός.**

«Ἀνάρχου Γεννήτορος, Υἱὸς Θεὸς καὶ Κύριος, σαρκωθεὶς ἐκ Παρθένου, ἡμῖν ἐπέφανε, τὰ ἐσκοτισμένα, συναγαγεῖν τὰ ἐσκορπισμένα, διὸ τὴν πανύμνητον, Θεοτόκον μεγαλύνομεν».

Τὴν ἔνδοξον μέλλουσα, κομίζεσθαι τελείωσιν, διὰ ξίφους Βαρβάρα, τοῦ μαρτυρίου σου, σὺν Ἰουλιανῇ τῶν στεφάνων, μαρτυρικῶς καταξιουμένη, φωνῆς θείας ἤκουσας, τελειούσης τὰς ἐντεύξεις σου.

Πληρῶν σου τὴν αἴτησιν, Βαρβάρα ἀθληφόρε Χριστός, τὰς

ἰάσεις βραβεύει, τοῖς ἐκτελοῦσί σου, πίστει τὴν ἐτήσιον μνήμην, ὡς ἀληθῶς, θαλάσσης γὰρ ψάμμον, τὰ σὰ ὑπερβέβηκεν, εὐκλεῆ τερατουργήματα.

Τῷ σῷ συναφθεῖσα νῦν, παντάνακτι νυμφίῳ Χριστῷ, καὶ ἀστράπτουσα δόξῃ, Βαρβάρα θείου φωτός, ἐν ἐπουρανίοις θαλάμοις, τοὺς ὑμνητὰς τοὺς σοῦς ἐπυπτεύοις, παθῶν ἀπαλλάττουσα, καὶ προσάγουσα τῷ ζῶντι Θεῷ.

**Κανὼν δεύτερος. Τῆς Ἁγίας. Ὅλος ὑπάρχεις ἔφεσις.**

Βρότειον γένος σέσωκε, τόκος ὁ σεπτός, σοῦ τῆς ἁγνῆς τε Μητρός, ἀνδρείας ἐνέπλησε, νεάνιδας θεόφρονας, αἷς συναρίθμιος, οὖσα Βαρβάρα μεγαλύνει σέ.

Ἆλις Βαρβάρα ἔντιμε, πόνους γλυκερούς, διὰ Χριστὸν ὑπομείνασα ἁγνή, τέλος δὲ καὶ ξίφει σου, τὴν κάραν ἀποτέτμησαι· διὸ σὲ ἅπαντες, ὡς νικηφόρον μακαρίζομεν.

Ῥύσιον πᾶσι πέφηνε, νόσου λοιμικῆς, μάρτυς Χριστοῦ, ἡ μνήμη σου πιστοῖς· τοῦτο γὰρ ἐξῄτησας, προσευχομένη ἔνδοξε· διὸ σὲ ᾄσμασιν, ἀθλοπρεπέσι μεγαλύνομεν.

Ἄνωθεν ῥεύσας ἐκπέπτωκα, λώβη δὲ φθοράς, διατμηθεὶς ὁ τάλας μου τὸν νοῦν, δυσώδης κατάκειμαι ἀλλά μοι βοηθήματα, πόροις αἰνοῦντι σέ, μάρτυς Βαρβάρα ἀκεσώδυνα.

**Θεοτοκίον.**

Ἄχραντε Μῆτερ φιλεύσπλαγχνε, σῶσον σαῖς εὐχαῖς, ἀπὸ δεινῶν κινδύνων καὶ κακῶν, τοὺς ἀνευφημοῦντας σὲ πιστῶς γὰρ σοὶ προστρέχομεν, χαῖρέ σοι βοῶντες, νύμφη Κυρίου ἡ ἀμόλυντος.

**Τοῦ Ὁσίου. Ὁ αὐτὸς**

Ἐδίδαξας ἅπαντας, τοὺς Ἐκκλησίας ᾄδειν υἱούς, ὀρθοδόξως Μονάδα τὴν ἐν Τριάδι σεπτήν, σάρκωσιν τοῦ Λόγου τε θείαν, θεολογεῖν, σαφῶς Ἰωάννη, τρανῶν τὰ δυσέφικτα, τοῖς πολλοῖς ἐν ἱεραῖς συγγραφαῖς.

Ἁγίων τὰ τάγματα, ὑμνολογήσας Ὅσιε, τὴν ἁγνὴν Θεοτόκον, Χριστοῦ τὸν Πρόδρομον, αὖθις Ἀποστόλους Προφήτας, σὺν Ἀσκηταῖς, σοφοὺς Διδασκάλους, Δικαίους καὶ Μάρτυρας, ἐν ταῖς τούτων νῦν αὐλίζῃ σκηναῖς.

**Θεοτοκίον.**

Ὡς πόκος Πανάμωμε, τὸν ὄμβρον τὸν οὐράνιον, ἐν γαστρὶ δεξαμένῃ ἡμῖν ἐκύησας, τὸν τὴν ἀμβροσίαν διδοῦντα, τοῖς εὐσεβῶς, αὐτὸν ἀνυμνοῦσι, καὶ σὲ τὴν πανύμνητον, Θεοτόκον καταγγέλλουσιν.

**Καταβασία**

«Μυστήριον ξένον, ὁρῶ καὶ παράδοξον, οὐρανὸν τὸ σπήλαιον· θρόνον Χερουβικὸν τὴν Παρθένον· τὴν φάτνην χωρίον, ἐν ᾧ ἀνεκλίθη ὁ ἀχώρητος, Χριστὸς ὁ Θεός, ὃν ἀνυμνοῦντες μεγαλύνομεν».

## Ἐξαποστειλάρια
## Τῆς Ἁγίας.

**Ἦχος γ΄. Ὁ οὐρανὸν τοῖς ἄστροις.**

Τὴν τῆς Τριάδος πίστιν, μάρτυς φυλάττουσα καλῶς, ἐσφαγιάσθης ἀστόργως, ταῖς τοῦ γεννήτορος χερσί· ὅθεν ζωὴν τὴν ἀγήρω, Βαρβάρα ζῇς εἰς αἰῶνας.

## Ἕτερον τῆς Ἁγίας

**Ἦχος ὁ αὐτός. Ἐν Πνεύματι τῷ Ἱερῷ.**

Τὴν χάριν τῶν ἰάσεων, ἐκ Θεοῦ δεξαμένη, Βαρβάρα πανοίδιμε, τοῦ ἰᾶσθαι τάς νόσους, τῶν πίστει προστρεχόντων σοι, τὸν Θεὸν δοξάζουσα, τὸν ἐπὶ πάντων Δεσπότην, ῥυσαὶ πάντας κινδύνων, λοιμικῆς ἀσθενείας, καὶ ψυχικῶν νοσημάτων.

## Τοῦ Ὁσίου, ὅμοιον.

Ἀνέτρεψας σοφία σου, τάς αἱρέσεις παμμάκαρ, ὦ Ἰωάννη πάνσοφε, καὶ ὀρθόδοξον δόγμα, τῇ, Ἐκκλησίᾳ δέδωκας, τοῦ ὀρθῶς δογματίζειν, καὶ δοξάζειν Τριάδα, Μονάδα τρισυπόστατον, ἐν μιᾷ τῇ οὐσίᾳ.

**Θεοτοκίον, ὅμοιον.**

Ἐκύησας Πανάχραντε, τὸν τοῦ τῷ Θεοῦ Θεὸν Λόγον, κόσμω τὴν σωτήριον, ἐκτελοῦντα πανσόφως, οἰκονομίαν ἀρίστην, διὰ τοῦτο σὲ πάντες, ὑμνολογοῦμεν ἀξίως, ὡς πρεσβεύουσαν τούτω, λυτρωθῆναι ἡμᾶς νόσων, καὶ παντοίων κινδύνων.

**Εἰς τοὺς Αἴνους, ἱστῶμεν Στίχους δ' καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια τῆς Ἁγίας.**

**Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος.**

**Στίχος:** *Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.*

Μάρτυς Βαρβάρα πανένδοξε, τοῦ ἀνεσπέρου φωτός, δεξαμένη τὴν ἔλλαμψιν, πατρικὴν δυσσέβειαν, θεοφρόνως ἀπέρριψας, καὶ ὡς ἡμέρας θυγάτηρ πάγκαλος, εὑρέθης ἄθλοις τοῦ μαρτυρίου σου. Ὅθεν τοῦ κάλλους σου, ἐρασθεὶς ὁ Κύριος νύμφην αὐτοῦ, μυστικῶς ἠγάγετο, σὲ παμμακάριστε.

**Στίχος:** *Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρα.*

Μάρτυς Βαρβάρα πανεύφημε, τρισὶ θυρίσι σαφῶς, τοὺς τεχνίτας ἐκέλευσας, τὸ λουτρὸν φωτίζεσθαι, θεοσόφω φρονήματι, ἐξεικονίζουσα τὸ μυστήριον, τῆς ἐν Τριάδι μιᾶς Θεότητος· ἣν πίστει ὕστερον, διομολογήσασα μαρτυρικῶς, πρὸς ζωὴν ἐπέρασας, τὴν αἰωνίζουσαν.

**Στίχος:** *Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνω.*

Μάρτυς Βαρβάρα πολύαθλε, πατρὸς φονώσαις χερσί, πατρικῶ ξίφει χαίρουσα, τὴν σφαγὴν ὑπέμεινας, ὡς ἀμνὰς θεοσήμαντος, πατέρα ἔχω ἐγὼ φιλότεκνον, τὸν ἐπουράνιον πίστει κράζουσα, πρὸν ὃν ἐπείγομαι, τετρωμένη ἔρωτι θεουργικῶ, ἵνα τὴν αἰώνιον, εὕρω ἀνάπαυσιν.

**Στίχος:** *Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.*

Μάρτυς Βαρβάρα ἀήττητε, ταῖς τῶν αἱμάτων ῥοαῖς,

παρθενίας φοινίξασα, τὸ λευκόχρουν ἔνδυμα, τῷ Νυμφίῳ παρίστασαι, πεποικιλμένη κόσμῳ τῆς χάριτος, καὶ ἐνεργοῦσα ἀπαύστως θαύματα, τοῖς καταφεύγουσι, τῇ σεπτῇ πρεσβείᾳ σου, πίστει θερμῇ, καὶ ἀνευφημοῦσι σέ, τερπνοῖς ἐν ᾄσμασι.

**Δόξα Πατρί... Ἦχος πλ. β'.**

**Ἰωάννου Μοναχοῦ.**

Ἀθλητικὴν ὁδεύσασα ὁδόν, προγονικὴν ἐξέφυγες βουλήν, Βαρβάρα πανσεβάσμιε, καὶ ὡς μὲν Παρθένος φρονίμη, λαμπαδηφόρος εἰσῆλθες, εἰς τάς αὐλὰς τοῦ Κυρίου σου, ὡς δὲ Μάρτυς ἀνδρεία, χάριν ἔλαβες ἰατρεύειν, τῆς σαρκὸς σαθρὰν λύμην, Ἀλλὰ καὶ ἡμᾶς τοὺς ἀνυμνοῦντας σέ, ψυχικῶν ἀλγηδόνων ἐκλύτρωσαι, ταῖς πρὸς Θεὸν ἱκεσίαις σου.

**Καί νύν... Θεοτοκίον**

Θεὸν ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν, Θεοτόκε Παρθένε, αὐτὸν ἱκέτευε, σωθῆναι τάς ψυχὰς ἡμῶν.

**Ει βούλει ψάλλε τω κάτωθι δοξαστικόν της Αγίας εκ των «Ασματικών Ακολουθιών»**

**Δόξα Πατρί... Ἦχος πλ. α'.**

Τῆς Παναγίας Τριάδος, ἐνδεδυμένη τὴν δύναμιν, τῆς οἰκείας φύσεως ἐπελάθου, καὶ ἀνδρικῶς πρὸς μαρτυρίου, τὸ στάδιον ἐχώρησας, Βαρβάρα πολύαθλε· ἐν ᾧ τοῦ πατρὸς τὸ ἀπηνές, καὶ τῶν εἰδώλων τὸ ἀσεβές, μαρτυρικοῖς σου ποσὶ καταπατήσασα, πρὸς τὴν ὑπερκόσμιον λαμπρότητα ἀνήχθης, παρρησίας χάριν κομισαμένη. Ὅθεν τοῖς προστρέχουσι, τῇ ἀντιληπτικῇ σου πρεσβείᾳ, γένοιο ὦ Καλλίνικε μάρτυς καὶ ἐννομοτάτη ἀθλήτρια,τῆς τῶν οὐρανῶν βασιλείας πρόξενος, ἐν πάσῃ τε λυπηρᾷ συμβάσει ὑπέρμαχος, καὶ πρέσβυς ἀκαταίσχυντος, πρὸς τὸν πανάγαθον Χριστὸν τὸν Θεόν, καὶ Σωτηρὰ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν... Θεοτοκίον.**

Μακαρίζομεν σέ, Θεοτόκε Παρθένε, καὶ δοξάζομεν σέ, οἱ

πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

**Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.**

# ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

**Τυπικά, Μακαρισμοὶ καὶ ἀπὸ τοῦ Κανόνος, τῆς Ἁγίας ἡ Ὠδὴ γ΄ καὶ ϛ΄. Ἀπόστολον καὶ Εὐαγγέλιον, ζήτει τῇ ια΄ Ἰουλίου.**

**Κοινωνικόν.**

Εις μνημόσυνον αιώνιον, έσται δίκαιος. Αλληλούια.

**Μεγαλυνάριον.**

Χαίροις ἀθληφόρε τοῦ Ἰησοῦ, ἡ τῆς ἀσεβείας, καθαιρέτις τῆς πατρικῆς χαίροις εὐσεβείας, ὑψώσασα τὸ κέρας, ἐν μαρτυρίου ἄθλοις, Βάρβαρα ἔνδοξε.

**Δίστιχον.**

Κύριλλον ὑμνήσαντα τὴν ἄθλησίν σου,
φυλάττε πρεσβείαις σου μάρτυς Βάρβαρα.

ΤΕΛΟΣ
ΚΑΙ ΤΩ ΤΡΙΑΔΙΚΩ
ΘΕΩ
ΔΟΞΑ, ΤΙΜΗ
ΚΑΙ ΠΡΟΣΚΥΝΗΣΙΣ
ΕΙΣ ΤΟΥΣ ΑΙΩΝΑΣ
ΤΩΝ ΑΙΩΝΩΝ
ΑΜΗΝ.

Δέησις τοῦ δούλου τοῦ Θεοῦ Γεωργίου Τουπίκλην Γεροκόμου, ὑπὲρ ὑγείας καὶ σωτηρίας τῆς οἰκογενείας αὐτοῦ.

κθ΄ Νοεμβρίῳ βι΄